*μὲν περὶ τὴν ἐδωδὴν καὶ πόσιν ἡδοναὶ κεκλημέναι ὑπὸ τῆς φύσεως ταῖς ὀρέξεσιν ἑπόμεναι τόπον ἔχουσιν, ταῖς δ᾽ ἄλλαις ἀκλήτοις καὶ σὺν οὐδενὶ λόγῳ φιληδονίαις † ἀπήλλακται.᾽*

**2.** *Πρὸς ταῦθ᾽ οἱ μὲν ἀήθεις τοῦ Ἀμμωνίου νεανίσκοι διαταραχθέντες ἡσυχῇ παρελύοντο τοὺς στεφάνους· ἐγὼ δ᾽ εἰδὼς ὅτι γυμνασίας ἕνεκα καὶ ζητήσεως καταβέβληκεν ἐν μέσῳ τὸν λόγον ὁ Ἀμμώνιος, προσαγορεύσας Τρύφωνα τὸν ἰατρὸν ʽὦ τᾶν, ἢ καταθέσθαι δίκαιος εἶ μεθ᾽ ἡμῶν τουτονὶ ʽτὸν καλ⟨ύκεσσι⟩ φλέγοντα τοῖς ῥοδίνοις στέ-*
B *φανον,᾽ ἢ λέγειν, ὥσπερ εἴωθας ἑκάστοτε πρὸς ἡμᾶς, ὅσας ἔχουσιν οἱ ἄνθινοι στέφανοι πρὸς τὸ πίνειν βοηθείας.᾽ ὑπολαβὼν δ᾽ ὁ Ἐράτων ʽοὕτω γάρ᾽ εἶπεν ʽδέδοκται μηδεμίαν ἡδονὴν ἀσύμβολον δέχεσθαι, ἀλλ᾽ εὐφραινομένους δυσκολαίνειν, ἂν μὴ μετά τινος μισθοῦ τοῦτο πάσχωμεν; ἢ τὸ μὲν μύρον εἰκότως ὑποδυσωπούμεθα καὶ τὴν πορφύραν διὰ τὴν ἐπίθετον πολυτέλειαν ὡς δολερὰ εἵματα καὶ χρίματα κατὰ τὴν τοῦ βαρβάρου φωνήν, αἱ δ᾽ αὐτοφυεῖς χρόαι καὶ ὀσμαὶ [οὐ] τὸ ἀφελὲς ἔχουσι καὶ καθαρὸν καὶ οὐδὲν ὀπώρας διαφέρουσιν; μὴ γὰρ εὔηθες ᾖ τοὺς μὲν χυμοὺς δρέπεσθαι καὶ ἀπολαύειν τῆς φύσεως διδούσης,*
C *ὀσμὰς δὲ καὶ χρόας ⟨ἃς⟩ αἱ ὧραι φέρουσι, διὰ τὴν ἐπανθοῦσαν ἡδονὴν † ταῦτα καὶ χάριν ἀτιμάζειν, ἂν μή τι*